τῆς γὰρ ὀλωΐον ἐστι γένος καὶ φῦλα γυναικῶν,

578. *Foι* 581. *Fιδέσθαι* 584. *ζώοισι FεFοικότα* 589. *Fεῖδον*

578. δὲ om. L, Ald. 582. *κνώδαλα ὅσσ'* L, Ald. *πολλὰ* om. Ald. 584. *θαυμάσια* N. *θαυμασίη* L, Ald. 587. *ὀβρ.* N. *ὀμβρ.* L, Ald.

582. The readings of the Aldine and Barocc. 109 suggest *κνώδαλά θ' ὅσσα περ ἤπειρος τρέφει ἠδὲ θάλασσα.*

584. *θαυμάσια*, the reading of several good copies, is manifestly better than *θαυμασίη*, agreeing with *χάρις*.

585. *καλὸν κακόν.* When Zeus had fashioned a fair evil as a counterbalance to the good that had been fraudulently obtained, viz. the stolen fire. Cf. v. 370. Opp. 57, *ἀντὶ πυρὸς δώσω κακὸν ᾧ κεν ἅπαντες τέρπωνται.* From v. 571 Hermann infers that the same nominative is continued as in the foregoing sentence, viz. *Ἀμφιγυήεις.*—For *κἄλον* see Opp. 63. The correction of Hermann is probably right, *αὐτὰρ ἐπεὶ τεῦξεν κ.τ.λ.*

586. *ἔνθα περ.* The poet does not say where the place was, in which both gods and men were assembled to witness the new-created beauty. In Opp. 84 the story is differently told. There Hermes is ordered to conduct Pandora as a gift to Epimetheus, who forthwith places her at the disposal of mortals on earth. There is something abrupt and obscure in the narrative here, which says *θαῦμα ἔχεν ἀνθρώπους ὡς εἶδον δόλον ἀνθρώποις.*

590. This verse, as Hermann perceived, belonged to another recension in place of the next, or possibly of the next three. Indeed, there is hardly any passage in Hesiod which demonstrates the fact of two recensions being mixed together more incontestably than this. The whole passage indeed, from v. 590 to v. 612, was suspected by Wolf; and it seems not only in great measure different in style, but it is partly made up of Homeric phrases, and involves some suspicious violations of the digamma. That Hesiod should be one of the so-called Greek misogynists, in common with Aeschylus, Aristophanes, Euripides, the pseudo-Simonides, and others, is not a little remarkable. Hesiod, however, does not allude to the faithlessness of women, on which Euripides especially dwells; but he calls them idle, self-indulgent, fit only for the rich; though he modifies his harsh opinion of the sex at v. 608.

591. *τῆς*, sc. *ταύτης*, viz. from Pandora, the first of her sex.—*ὀλώϊον*, a lengthened form of *ὄλοιον*, and that for *ὀλοόν*. Probably the word was *ὀλοFος*, whence a secondary form *ὀλοFοιος*, *ὀλοφώϊος*.—The stop com-

πῆμα μέγα θνητοῖσι μετ' ἀνδράσι ναιετάουσιν,
οὐλομένης πενίης οὐ σύμφοροι, ἀλλὰ κόροιο.
ὡς δ' ὁπότ' ἐν σμήνεσσι κατηρεφέεσσι μέλισσαι
κηφῆνας βόσκουσι, κακῶν †ξυνήονας ἔργων,
αἱ μέν τε πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἠμάτιαι σπεύδουσι, τιθεῖσί τε κηρία λευκά,
οἱ δ' ἔντοσθε μένοντες ἐπηρεφέας κατὰ σίμβλους
ἀλλότριον κάματον σφετέρην ἐς γαστέρ' ἀμῶνται·
ὡς δ' αὔτως ἄνδρεσσι κακὸν θνητοῖσι γυναῖκα
Ζεὺς ὑψιβρεμέτης θῆκε, ξυνήονα ἔργων
ἀργαλέων· ἕτερον δὲ πόρεν κακὸν ἀντ' ἀγαθοῖο·

601. *Ἔργων*

593. ἀσύμφοροι L, Ald. κούροιο L. 594. 'εἰς' μήνεσσι (εἰ σμήνεσσι) N. qu. ὡς δ' ὁπότε σμήνεσσι? 595. βόσκωσι N. βόσκουσι L, Ald. 596. αἱ μέν τοι N. αἱ μέν τε L. οἱ μέν τε Ald. 598. ἐπηρεμφέας N. ἐπϊρεφέας L. 600. ὡς αὔτως N. γυναῖκας—ξυνήονας vulg. 602. δ' ἔπορε N.

monly placed after γένος is intolerable. The most natural way of construing the passage seems to be this; πῆμα μέγα ἐκείνοις, οἳ ναιετάουσι μετὰ θνητοῖς ἀνδράσι. This however is an unusual periphrasis. Perhaps the verse was added in consequence of the stop at γένος, by some who construed καὶ ἐκ τῆσδε φῦλα γυναικῶν (γυναῖκες) ναιετάουσι πῆμα μέγα μετ' ἀνδράσιν. As if he had said γυναῖκες, he not only uses the plural verb, but also the feminine σύμφοροι, which here has the genitive in the sense of 'companions in,' 'fellow-bearers of,' though in Opp. 302 we have λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί. Theognis 526 (quoted by Goettling), ἡ πενίη δὲ κακῷ σύμφορος ἀνδρὶ φέρειν. Were we sure v. 592 was genuine, we might read οὐ σύμφορον, especially as there are variants ἀσύμφορα and οὐ σύμφορα. Stobaeus, σγ'. 47, cites 591—3 as we have them in the copies.—κόροιο, abundance, luxury.

594—5. There are variants ἐν σίμβλοισι and βόσκωσι, adopted by Gaisford, rejected by Goettling.—ξυνήονας (ξυνός), for κοινῇ ἐργαζομένους κακά. Cf. v. 601. The absence of the digamma from ἔργων is an indication of some error. Cf. Opp. 382. Inf. v. 601. Here at least one is tempted to read κακῶν ξυνήονας ἀργοὺς, but that Hesiod uses the form ἀεργός. The simile from drones in a hive is applied by Plato to idle spendthrift citizens, De Rep. vii. p. 552, c, βούλει οὖν, ἦν δ' ἐγὼ, φῶμεν αὐτὸν, ὡς ἐν κηρίῳ κηφὴν ἐγγίγνεται, σμήνους νόσημα, οὕτω καὶ τὸν τοιοῦτον ἐν οἰκίᾳ κηφῆνα ἐγγίγνεσθαι, νόσημα πόλεως;

596. πρόπαν ἦμαρ, all day long; cf. sup. v. 525. ἠμάτιαι, day by day. So Hom. Il. ix. 72, πλεῖαί τοι οἴνου κλισίαι, τὸν νῆες Ἀχαιῶν ἠμάτιαι Θρῄκηθεν ἐπ' εὐρέα πόντον ἄγουσιν. Goettling's conjecture ἀκάμαται is superfluous.—τιθεῖσι, see inf. v. 875. Aeschylus uses this form for τιθέασι, Ag. 451.

599. ἀμῶνται, heap up, scrape together, *corraduni in ventrem*. Cf. Opp. 775. 778.

601. ξυνήονα, 'taking part in grievous troubles,' i. e. causing them cares. See on v. 603, and for ξυνήων, 'a partner,' Pind. Pyth. iii. 48. This must be the sense, otherwise the comparison with the drones altogether fails, if we render it 'helpmates in their hard labours.' This would be a virtue; but the poet is speaking of women's vices. The meaning is determined by v. 595. Stobaeus, citing 600—9 (ξθ'. 15), gives λευγαλέων (602) and ζωὴν (606).

602. ἕτερον κακόν. The making of

ὅς κε γάμον φεύγων καὶ μέρμερα ἔργα γυναικῶν
μὴ γῆμαι ἐθέλῃ, ὀλοὸν δ' ἐπὶ γῆρας ἵκηται
χήτει γηροκόμοιο, ὁ δ' οὐ βιότου ἐπιδευὴς
ζώει, ἀποφθιμένου δὲ διὰ κτῆσιν' δατέονται
χηρωσταί· ᾧ δ' αὖτε γάμου μετὰ μοῖρα γένηται,
κεδνὴν δ' ἔσχεν ἄκοιτιν ἀρηρυῖαν πραπίδεσσι,
τῷ δέ τ' ἀπ' αἰῶνος κακὸν ἐσθλῷ ἀντιφερίζει
ἔμμεναι· ὃς δέ κε τέτμῃ ἀταρτηροῖο γενέθλης,

603. Ϝέργα 605. ἐπιδεϜὴς 609. αἰϜῶνος 610. ἀϜαρτηροῖο

605. βιότου τ' N. 606. ζώη—διάζωήν N. 608. ἔσχε L, Ald. 609. τῷδ' ἀπ' L, Ald. 610. τέμνῃ L. ὃν δεκε τέτμῃ Ald. ὃς δέ κε γήμῃ N.

the woman was κακὸν ἀντ' ἀγαθοῖο, v. 585; the second evil consists in the following dilemma; Either a man marries, or he does not. If he does not, strangers possess his wealth; if he does, though he may have a good wife, he may at the same time have, as a counterbalancing evil, an insubordinate family, ἀταρτηρὸς γενέθλη. Schol. τοῦτό φησιν, οὔτε μὴ γήμας (l. ὅτι ὁ μὴ γήμας) ἕτερον ἔχει κακὸν, τὸ μὴ γηροβοσκεῖσθαι. Ἢ οὕτως· ἀγαθὸν τὸ μὴ γαμεῖν, ἀλλὰ κακὸν τὸ μὴ ἔχειν γηροβοσκοὺς καὶ κληρονόμους. Such seems the general sense of a passage which presents considerable difficulties. For first we should have expected a different result of the former alternative, the preferring an unmarried life; not, 'having none to tend him in his old age (i. e. a son), *he lives not wanting in substance, but strangers divide his property*,' but rather, 'he dies uncared for.' Secondly, we can hardly doubt that v. 606 is an adaptation of the Homeric verse, Il. v. 158, χηρωσταὶ δὲ διὰ κτῆσιν δατέονται. Again, the other alternative (the having a wife) ought, according to the context, to be not less disastrous. But the same interpolator, who added ὅτ' οὐ βιότου ἐπιδευὴς κ.τ.λ. above, here made a similar reservation about the κεδνὴ ἄκοιτις, perhaps having in mind the passage about good and bad wives in Opp. 702. The inference seems very probable, that the passage has been tampered with, and that it originally stood nearly thus; ὁ δ' οὐ βιότου τέλος ἐσθλὸν ἐγκύρσει· τῷ δ' αὖτε γάμου μετὰ μοῖρα γένηται, ζώει ἐνὶ στήθεσσιν ἔχων ἀλίαστον ἀνίην. The word ἀταρτηρὸς does not occur elsewhere in Hesiod, though Homer once or twice uses it. Schol. σκληρᾶς, χαλεπῆς, ἀπὸ γενικῆς (?) γενεᾶς. Gloss. Barocc. 109, βλαβερᾶς. It has been suggested that this word may come from ἀάω with the digamma, ἀϜαρτηρὸς = ἀατηρὸς, ἀτηρός.

603. μέρμερα Ϝέργα is to be remarked, as compared with the undigammated ἔργων in v. 595. In v. 601 one of the MSS. gives γυναῖκα—ξυνήνορα, whence ξυνήονα has now been adopted as probably the true reading.

605. ἐπιδευὴς, for ἐπιδεϜὴς, i. e. ἐπιδεής.

609. ἀντιφερίζει, 'contends against,' 'matches.' In Opp. 210, a passage of doubtful genuineness, it has the same sense. The phrase ἀπ' αἰῶνος, for ἀεὶ, is not free from suspicion, though Homer has ἀπ' αἰῶνος νέος ὥλεο, Il. xxiv. 725, for ἀπὸ βίου, nor is ἔμμεναι in the next verse easily explained, unless the subject to ἀντιφερίζει be ἄκοιτις. Stobaeus, ending his quotation with ἀντιφερίζει, might seem to have not read in his copy the three concluding lines. The context seems to require εἰ γὰρ τέτμῃ κ.τ.λ.

610. γενέθλης. If the poet had meant 'race' in the sense of 'womankind,' he would probably have avoided ambiguity by using γυναικός. But the troubles of an ungrateful offspring seem here meant. Euripides touchingly alludes to the same cross in life, Med. 1090—1104; and he has a very similar passage on happy and unhappy marriages, in

ζώει ἐνὶ στήθεσσιν ἔχων ἀλίαστον ἀνίην
θυμῷ καὶ κραδίῃ, καὶ ἀνήκεστον κακόν ἐστιν.
Ὡς οὐκ ἔστι Διὸς κλέψαι νόον οὐδὲ παρελθεῖν.
οὐδὲ γὰρ Ἰαπετιονίδης ἀκάκητα Προμηθεὺς
τοῖό γ' ὑπεξήλυξε βαρὺν χόλον, ἀλλ' ὑπ' ἀνάγκης
καὶ πολύϊδριν ἐόντα μέγας κατὰ δεσμὸς ἐρύκει.
Ὀβριάρεῳ δ' ὡς πρῶτα πατὴρ ὠδύσσατο θυμῷ
Κόττῳ τ' ἠδὲ Γύῃ, δῆσε κρατερῷ ἐνὶ δεσμῷ,
ἠνορέην ὑπέροπλον ἀγώμενος ἠδὲ καὶ εἶδος

616. πολύϝιδριν

614. ἰαπετηονίδης N. 615. ἀνάγκῃ Ald. 616. μέγα N. 617. βριάρεω δ' ὡς τὰ πρῶτα LN, Ald. ὀδύσσατο L, Ald. 619. ἀγόμενος N.

Orest. 602—4.—τέτμῃ seems to govern a genitive in the sense of τύχῃ.

612. This verse is defended by Goettling, who construes ἀλίαστον θυμῷ. Gaisford encloses it in brackets after Ruhnken, who thinks θυμῷ and κραδίῃ were glosses on στήθεσσιν, and ἀνήκεστον a gloss on the false reading ἀνίαστον for ἀλίαστον. (Hesych. ἀνήκεστον· ἀνίαστον.)

613. ὡς οὐκ ἔστι. This reverts to the punishment of Prometheus described sup. v. 521. The sense is, 'Thus we see that no cunning is so clever as to escape punishment, if it involves disobedience to Zeus.' It is, as it were, the moral of the foregoing story. Compare Opp. 105, οὕτως οὔτι πῃ ἔστι Διὸς νόον ἐξαλέασθαι.

614. ἀκάκητα. Perhaps 'beneficent,' the Homeric epithet of Hermes (Il. xvi. 185. Od. xxiv. 10), and probably to be compared with a similar attribute of the same god, ἐριούνιος. The negative quality of doing no harm suggested the positive quality of doing good. But in the former sense only Darius is called ἄκακος in Aesch. Pers. 663.

616. πολύϊδριν. He is elsewhere called ποικίλος and αἰολόμητις, sup. v. 511. Horace terms him *callidus* Carm. ii. 18, 35.

617 seqq. The contest between the Olympian gods and the Titans, or the change from the old to the new dynasty, is related at length.—Cottus, Briareus, and Gyes, were the hundred-handed giant sons of Gaea and Uranus, sup. v. 149. For their treatment of their father they had been threatened with punishment (sup. v. 209, 210), and the threat is now about to be executed, on the principle that an undutiful son (Cronus) will himself have an undutiful offspring (Zeus).—Ὀβριαρεύς, another form of the name, is recognised in Etym. M. p. 346, 38, and indeed is sufficiently defended by the analogy of βριάω compared with ὔβριμος. Here the metre requires Ὀβριάρεως, while in v. 149 and 714 either form is admissible. It occurs also inf. v. 734, where the common reading, Κόττος τε καὶ ὁ Βριάρεως μεγάθυμος, though a manifest solecism, is retained by Gaisford. But here the MSS. give Βριάρεῳ δ' ὡς πρῶτα (so Van Lennep), or Βριάρεῳ δ' ὡς τὰ πρῶτα (Gaisford). L. Dindorf conjectured Ὀβριάρεῳ, which Goettling says is found in two MSS. To make Βριάρεῳ a spondee by *synizesis* is quite out of the question.—πατὴρ, viz. Uranus.—πρῶτα ὠδύσσατο, 'when first he was enraged against them.' This corresponds to σφετέρῳ ἤχθοντο τοκῆϊ ἐξ ἀρχῆς, sup. v. 155. Homer has the form ὀδύσσομαι more than once.—δῆσε, see v. 157.

619. ἀγώμενος, 'being awed at.' Compare ἀγαίεται, Opp. 333. The genuineness of this and the next verse is doubtful. It does not appear that ἀγώμενος or ἀγᾶσθαι is elsewhere found; and the form looks like the coinage of a post-epic inter-

καὶ μέγεθος· κατένασσε δ' ὑπὸ χθονὸς εὐρυοδείης·
ἔνθ' οἵγ' ἄλγε' ἔχοντες ὑπὸ χθονὶ ναιετάοντες
εἶατ' ἐπ' ἐσχατιῇ, μεγάλης ἐν πείρασι γαίης,
δηθὰ μάλ', ἀχνύμενοι, κραδίῃ μέγα πένθος ἔχοντες,
ἀλλά σφεας Κρονίδης τε καὶ ἀθάνατοι θεοὶ ἄλλοι
[οὓς τέκεν ἠΰκομος Ῥεῖα Κρόνου ἐν φιλότητι,]
Γαίης φραδμοσύνῃσιν ἀνήγαγον ἐς φάος αὖτις·
αὐτὴ γάρ σφιν ἅπαντα διηνεκέως κατέλεξε,
σὺν κείνοις νίκην τε καὶ ἀγλαὸν εὖχος ἀρέσθαι.
δηρὸν γὰρ μάρναντο, πόνον θυμαλγέ' ἔχοντες,

622. εἶτ' ἐπ'—μεγάλοις N. 623. μέγα om. N.
628. κείνοισι L, Ald.

polator, on the model of the Homeric ἀγάασθε, ἠγάασθε, ἀγάασθαι, from ἄγαμαι. Again, ὑπὸ χθονὸς and ὑπὸ χθονί, in the same sense, should hardly stand in two consecutive verses. Thirdly, ἠδὲ καὶ εἶδος is a violation of the digamma; and lastly, ἠνορέης ὑπερόπλου occurred sup. v. 516.—κατένασσε, see Opp. 168. sup. v. 329.

622. ἐπ' ἐσχατιῇ, in the far west, where Atlas also was punished (sup. v. 517), and where the Hesperides abode, who seem in some way to have been associated with woe and gloom, since they were the daughters of Night, and sisters of Μῶμος and Ὀϊζύς, v. 214—5. The *west* is also called πείρατα γαίης in v. 335 and 518. Even Tartarus itself was by some placed in the furthest parts of the west. Hence Hades is called Ἕσπερος θεὸς, Soph. Oed. R. 177. Compare inf. v. 729. 731, and 653, where ζόφος (connected with ζέφυρος) means the darkness of the sunless west. The Schol. explains ἐν πείρασι γαίης by ὑποκάτω τῆς γῆς.—The reading of the Emmanuel MS., μεγάλοις, is supported by v. 335, πείρασιν ἐν μεγάλοις.

623. This verse is regarded as spurious by Heyne. But, as Goettling remarks, we require the addition of δηθὰ μάλα, 'for a very long time,' because they were at length brought back to the light. We might indeed omit v. 622, and read ναιετάεσκον in v. 621.

626. φραδμοσύνῃσιν, the oracular warnings, ἐννεσίῃσι sup. v. 494. Apollodor. i. 2, 1, μαχομένων δ' αὐτῶν ἐνιαυτοὺς δέκα, ἡ Γῆ τῷ Διὶ ἔχρησε τὴν νίκην, τοὺς καταταρταρωθέντας ἂν ἔχῃ συμμάχους· ὁ δὲ τὴν φρουροῦσαν αὐτῶν τὰ δεσμὰ Κάμπην ἀποκτείνας ἔλυσε.

627. σφιν, viz. to the gods; whereas σφέας above means the imprisoned giants.—ἅπαντα διηνεκέως, had told them the whole matter in detail, viz. (to use the words of Aeschylus, referring to the same event, Prom. 220,) ὡς οὐ κατ' ἰσχὺν οὐδὲ πρὸς τὸ καρτερὸν χρείη, δόλῳ δὲ τοὺς ὑπερσχόντας κρατεῖν.—ἄρεσθαι, 'that they would win glory,'—an Homeric phrase. The aorist infinitive follows verbs of promising or hoping, by a kind of *prolepsis* peculiar to the Greek mind, when an expected act is contemplated as realised.

629. δηρὸν γὰρ κ.τ.λ. For the other Titans (not the hundred-handed; compare 134 with 147) had long been contending with the Cronidae, or new Olympian powers. What the cause of the dispute was, Hesiod does not expressly say; but inf. v. 882, it is said to have been about their prerogatives, τιμάων κρίναντο. Aeschylus is more explicit, Prom. 207, ἐπεὶ τάχιστ' ἤρξαντο δαίμονες χόλου, στάσις τ' ἐν ἀλλήλοισιν ὠροθύνετο, οἱ μὲν θέλοντες ἐκβαλεῖν ἕδρας Κρόνου, ὡς Ζεὺς ἀνάσσοι δῆθεν, οἱ δὲ τοὔμπαλιν σπεύδοντες, ὡς Ζεὺς μήποτ' ἄρξειεν θεῶν. It was on condition of assisting Zeus against the rest, that these three Titans, (the hundred-handed,) whose bodily strength surpassed theirs, were liberated. By the *Cronidae* are meant primarily Zeus and his brothers and sisters (sup. v. 453), with those of the elder

Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο,
ἀντίον ἀλλήλοισι διὰ κρατερὰς ὑσμίνας·
οἱ μὲν ἀφ' ὑψηλῆς Ὄθρυος Τιτῆνες ἀγαυοὶ,
οἱ δ' ἄρ' ἀπ' Οὐλύμποιο θεοὶ, δωτῆρες ἐάων,
οὓς τέκεν ἠὐκομος Ῥεῖα Κρόνῳ εὐνηθεῖσα·
οἵ ῥα τότ' ἀλλήλοισι μάχην θυμαλγέ' ἔχοντες
συνεχέως ἐμάχοντο δέκα πλείους ἐνιαυτούς.
οὐδέ τις ἦν ἔριδος χαλεπῆς λύσις οὐδὲ τελευτὴ
οὐδετέροις, ἶσον δὲ τέλος τέτατο πτολέμοιο.
ἀλλ' ὅτε δὴ κείνοισι παρέσχεθεν ἄρμενα πάντα,
νέκταρ τ' ἀμβροσίην τε, τάπερ θεοὶ αὐτοὶ ἔδουσι,
πάντων ἐν στήθεσσιν ἀέξετο θυμὸς ἀγήνωρ.

632. ἀγαFFοί 633. ἐFάων? 638. Fίσον

632. ὄρθϋος N. 633. οἱ δ' ἄρ' ἐπ' N. δοτῆρες ἐάων N. 637. ἦν om. L, Ald. τελευτὴν Ald. 638. πολέμοιο L. 639. ἄρμενα L. 641. ἐνὶ στήθεσσιν N. qu. πᾶσιν ἐνὶ στ.?

gods whom he could win over to his cause, against the rest of the Titans headed by Cronus himself. Aeschylus (who perhaps had the Theogony in a much more perfect condition) says that Prometheus sided with Zeus, being unable to persuade the other Titans, Prom. 212. It is clear from v. 624—6 that the offspring of Rhea, viz. the elder gods, sided with Zeus; and in v. 883 it is stated that they agreed to confer the sovereignty on Zeus, whom Hesiod therefore does not represent as a *τύραννος* or usurper.

632. *ἀγαυοί*. It is clear that this word is nearly a synonym of *ἀγαθοί*. As the *υ* appears to have represented *F*, we have *ἀγαθ*, *ἀγαF*, probably as mere variants of the root.

633. *ἐάων*. This is a difficult word to explain. It seems a genitive of a feminine *ἔα*, rather than a Doricised form of *ἐήων*, from *ἑός*. And Goettling regards *ἔα* to be a substantive from *εἰμὶ*, = *οὐσία*. As good MSS. sometimes aspirate the word, *ἑάων*, may not the root be identical with *res?* Whatever *ἑός*, *ἧός*, may have originally been (probably *ἐF-s*), it is obvious that *εἷ* is only the contracted form of the neuter.

634. Of this verse the same may be said as of 631. 643. 668, and indeed many others, that they are not improbably interpolated by rhapsodists. The present verse occurred as v. 625.

636. *πλείους*, full or solar years, as contrasted with the lunar; or the great cyclic years of 99 lunar months. See on Opp. 617. Van Lennep suggests that the poet may have alluded to the duration of the Trojan war.

638. This verse, which is unnecessary to the context, was perhaps made up from Il. xv. 413, *ὃς μὲν τῶν ἐπὶ ἶσα μάχῃ τέτατο πτόλεμός τε*. It also occurs in Il. xii. 436. Both passages were indicated by Wolf.

639. *παρέσχεθεν*, viz. Κρονίδης in v. 624, the intervening passage (627—638) being virtually a parenthesis. The giants were there released from Tartarus by Zeus, and now they are entertained by him. Hence *κείνοισι* refers to Briareus and his fellow-giants. Goettling would prefer *παρέσχεθον*, viz. *θεοὶ* in the next verse, or *νέκταρ τ' ἀμβροσίη τε*, so that *παρέσχεθεν* would be for *παρεσχέθησαν*. Neither of these is necessary, though Van Lennep is inclined to approve the latter.

† ὣς νέκταρ δ' ἐπάσαντο καὶ ἀμβροσίην ἐρατεινὴν,
δὴ τότε τοῖς μετέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Κέκλυτέ μευ, Γαίης τε καὶ Οὐρανοῦ ἀγλαὰ τέκνα,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
ἤδη γὰρ μάλα δηρὸν ἐναντίοι ἀλλήλοισι
νίκης καὶ κράτεος πέρι μαρνάμεθ' ἤματα πάντα
[Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐκγενόμεσθα.]
ὑμεῖς δὲ μεγάλην τε βίην καὶ χεῖρας ἀάπτους
φαίνετε Τιτήνεσσιν ἐναντίοι ἐν δαὶ λυγρῇ,
μνησάμενοι φιλότητος ἐνηέος, ὅσσα παθόντες
ἐς φάος ἂψ ἀφίκεσθε δυσηλεγέος ἀπὸ δεσμοῦ,
ἡμετέρας διὰ βουλὰς ὑπὸ ζόφου ἠερόεντος.
Ὣς φάτο· τὸν δ' ἐξαῦτις ἀμείβετο Κόττος ἀμύμων·
δαιμόνι', οὐκ ἀδάητα πιφάσκεαι· ἀλλὰ καὶ αὐτοὶ
ἴδμεν, ὅ τοι πέρι μὲν πραπίδες, πέρι δ' ἐστὶ νόημα,
ἀλκτὴρ δ' ἀθανάτοισιν ἀρῆς γένεο κρυεροῖο.
ἄψορρον δ' ἐξαῦτις ἀμειλίκτων ἀπὸ δεσμῶν

643. μετέϝειπε 656. ϝίδμεν

642. νέκταρ τ' N, Ald. 652. ὑπὸ δεσμοῦ LN, Ald. 655. πιφάσκεν N. 656. πραπίδης N. 657. γένετο N. 658. ὑπὸ δεσμῶν N.

642. There is an appearance of tautology here, which may have resulted from two recensions being mixed together. Perhaps either 641 – 2 or 642—3 should be ejected, or only v. 642, in which case we must read πάντων τ' ἐν στήθεσσιν κ.τ.λ.

646. "Quod hic dicitur μάλα δηρὸν, supra v. 636 erat δέκα πλείους ἐνιαυτούς, et quod hic ἤματα πάντα, supra erat συνεχέως." *Goettling.*

649. ἀάπτους. See v. 150. Opp. 148.

651. μνησάμενοι. Compare v. 503.—ἐνηής, 'kind,' 'cordial,' is an Homeric word of very uncertain etymology.

652. ἀπὸ δεσμοῦ. Many good copies give ὑπὸ, 'from under,' as inf. v. 669. For δυσηλεγὴς see Opp. 506.

653. Gaisford marks this verse as spurious, after Wolf, and he gives ἀπὸ for ὑπὸ, but against the MSS. The sense is rather weakened by omitting this line;—'remember, it was through *me* that you returned from prison.'

655. οὐκ ἀδάητα, 'what is well known to us,' viz. ὅσα ἀγαθὰ ὑπὸ σοῦ ἐπάθομεν.—πιφάσκομαι, identical with πιφαύσκομαι, (πιφαϝ-σκω,) contains the reduplicated root φα. Van Lennep gives πιφαύσκεαι with three or four MSS. (The Emmanuel MS., according to my collation, has πιφάσκεν, not πιφαύσκεο.)

656. ὅ τοι Hermann for ὅτι.—πέρι, adverbially, for περισσῶς, should be accented on the first syllable, as representing περίεισι.

657. ἀρῆς, scil. βλάβης. Cf. Scut. H. 29. The meaning seems to be, that Zeus had hitherto protected the other gods in the long war with the Titans. For the masculine form κρυεροῖο Goettling compares inf. v. 696, τοὺς δ' ἄμφεπε θερμὸς ἀϋτμή. We might compare the feminine ἀγανώτατον, sup. v. 408, but that the verse may be of a later insertion.

658—9. The MSS. and edd. (with the

σῇσιν ἐπιφροσύνῃσιν ὑπὸ ζόφου ἠερόεντος
ἠλύθομεν, Κρόνου υἱὲ ἄναξ, †ἀνάελπτα παθόντες.
τῷ καὶ νῦν ἀτενεῖ τε νόῳ καὶ ἐπίφρονι βουλῇ
ῥυσόμεθα κράτος ὑμὸν ἐν αἰνῇ δηϊοτῆτι,
μαρνάμενοι Τιτῆσιν ἀνὰ κρατερὰς ὑσμίνας.
Ὣς φάτ'· ἐπῄνησαν δὲ θεοί, δωτῆρες ἐάων,
μῦθον ἀκούσαντες· πολέμου δ' ἐλιλαίετο θυμὸς
μᾶλλον ἔτ' ἢ τοπάροιθε· μάχην δ' ἀμέγαρτον ἔγειραν
πάντες, θήλειαί τε καὶ ἄρσενες, ἤματι κείνῳ,
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο,
οὓς τε Ζεὺς Ἐρέβεσφιν ὑπὸ χθονὸς ἧκε φόωσδε,

660. Fάναξ ἀνάFελπτα (ἀνεFελπτα?) 664. ἐFάων?

658—9. Transposed in L, Ald., which give σῇσι δ' ἐπιφροσύνῃσιν ὑπὸ κ.τ.λ. 660. ἠλύθαμεν N. 664. ὡς φάτο. ἐπῄνεσαν δὲ N. qu. ἐπῄνεσαν? ἐάων LN, Ald. 666. μάχην τ' N. 669. ἐρέβευσφϊ N. οὔτε ζεὺς ἐρέβεσφϊν L. οὔτε Ζεὺς ἐρέβευσφιν Ald. φάος τε N. φάος δὲ L. φάως δε Ald.

single exception of the Emmanuel MS.) give these two verses in inverted order, σῇς δ' ὑποφραδμοσύνῃσιν ἀπὸ ζόφου ἠερόεντος Ἀψορρον δ' ἐξαῦτις κ.τ.λ. There are various readings σῇσι δ' ἐπιφροσύνῃσιν, σῇς δ' ἐπ., and ἄψορρον without the δέ. The reading in the text is that of Goettling and the MS. Emm. (N). Van Lennep gives σῇσι δ' ἐπιφροσύνῃσιν — ἄψορρον ἐξαῦτις, remarking that this is a better order of the words; 'It was by your thoughtfulness too that we returned from the darkness of the prison.' The *hiatus* however in ἄψορρον ἐξαῦτις seems objectionable, even though δυσηλεγέος ἀπὸ δεσμοῦ in v. 652 is not very unlike it. The reading σῇς δ' ὑποφραδμοσύνῃσιν has also the fault of ὅ before φρ., on which however see sup. v. 160.

660. ἀνάελπτα is a form difficult to explain, and probably Hermann is right in reading ἀνέελπτα, i. e. ἀν-έFελπτα. Otherwise we must regard ἀνὰ as the full form of the privative α. The same uncertainty attaches to ἀνάπνευστος in v. 797, for which we should perhaps read ἀνάμπνευστος.

661. ἀτενεῖ νόῳ, with stedfast resolve, with unflinching allegiance.

668. This verse occurred also at v. 630 and 648. Here it is not necessary, though it rather assists the syntax of the next verse.

669. Ἐρέβευσφιν *vulgo*, and so Van Lennep. Goettling, after L. Dindorf and some MSS. gives Ἐρέβεσφιν. In Il. ix. 572, Bekker edits ἔκλυεν ἐξ Ἐρέβεσφιν, and we may compare the common form στήθεσφι, which no one would write στήθευσφι. The old genitive was ἐρέβεσος, and thus the suffix is added to the crude form as in νεικεστῆρα, Opp. 716, where see the note. It is to be observed that φι was not peculiar to the dative, but was commonly added to the genitive also; thus we have in Homer ἐκ πασσαλόφι κρέμασεν Od. viii. 67, ἀπ' ἐσχαρόφιν ib. vii. 169, ἀπὸ νευρῆφιν Il. xiii. 585, ἐξ εὐνῆφι ib. xv. 580. In most cases this termination may be explained either in the instrumental or the local sense; e. g. ἐκ πασσαλόφι κρεμάσαι = ἐκκρεμάσαι πασσάλῳ, 'to hang up by a peg;' ἐξ εὐνῆφι ἀνίστασθαι, 'to get up on one's bed in order to leave it.'

δεινοί τε κρατεροί τε, βίην ὑπέροπλον ἔχοντες.
[τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀΐσσοντο
πᾶσιν ὁμῶς, κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.]
οἳ τότε Τιτήνεσσι κατέσταθεν ἐν δαὶ λυγρῇ,
πέτρας ἠλιβάτους στιβαρῇς ἐν χερσὶν ἔχοντες.
Τιτῆνες δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας
προφρονέως, χειρῶν τε βίης θ' ἅμα ἔργον ἔφαινον
ἀμφότεροι, δεινὸν δὲ περίαχε πάντος ἀπείρων,
γῆ δὲ μέγ' ἐσμαράγησεν, ἐπέστενε δ' οὐρανὸς εὐρὺς
σειόμενος, πεδόθεν δ' ἐτινάσσετο μακρὸς Ὄλυμπος
ῥιπῇ ὕπ' ἀθανάτων, ἔνοσις δ' ἵκανε βαρεῖα
Τάρταρον ἠερόεντα, ποδῶν τ' αἰπεῖα ἰωὴ

672. *Fεκάστῳ* 677. *Fέργον* 682. *Fιωὴ*

673. *μελέεσσι* N. 675. *στιβαρὰς* LN, Ald. 677. *προφρονέων* N. 682. *ποδῶν δ' αἰπεῖά τ' ἰωή* L, Ald. (gl. L, *φωνή*.) *ὀδὸν αἰτίατε κρατεάων* N.

671—3. These three verses occurred before, v. 150—2, with *ἅπλαστοι* for *πᾶσιν ὁμῶς*. Gaisford encloses them in brackets after Wolf. Goettling and Van Lennep think them genuine here.

674. *κατέσταθεν*. Though a war is often said *καθίστασθαι*, e. g. Thuc. i. 1, init., the sense here seems rather to be, 'stood opposite to,' *ex adverso consitterunt*; and the dative thus depends on the implied notion of *ἀντίοι*. Van Lennep well compares Herc. Fur. 1168, *ἐς πόλεμον ὑμῖν καὶ μάχην καθίσταται*.

675. The best copies seem to give *στιβαρὰς*, and so the Schol., *μεγάλας, καθ' ὑπερβολήν* (this referring to *ἠλιβάτους*), *στιβαρὰς, ἰσχυράς*. But inf. v. 692 we have *χειρὸς ἀπὸ στιβαρῆς*, and v. 715, *τριηκοσίας πέτρας στιβαρῶν ἀπὸ χειρῶν*. Of course, *πέτρας* is a greater hyperbole than *πέτρους* would have been, and especially with *ἠλιβάτους*, steep and inaccessible rocks. Photius, *ὀροτύπους, τοὺς γίγαντας· ὅτι ταῖς τῶν ὀρῶν κορυφαῖς ἔβαλλον*. Apollodorus also says (i. 6, 1), *ἠκόντιζον δὲ εἰς οὐρανὸν πέτρας καὶ δρῦς ἠμμένας*. The giant Polyphemus tore off and threw at Ulysses *κορυφὴν ὄρεος μεγάλοιο*, Od. ix. 481.

676. The resemblance of this verse to Il. xvi. 563 can hardly be accidental; *οἱ δ' ἐπεὶ ἀμφοτέρωθεν ἐκαρτύναντο φάλαγγας*. So also Il. xii. 415, 'Αργεῖοι δ' *ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας*.

678. *περίαχε*. Van Lennep calls this an Aeolic crasis for *περιΐαχε*, citing the authority of Choeroboscus in Etym. M. p. 92, 9. Certainly the elision of the *ι* in *περὶ* is very rare, though we have *περοίχεται* inf. v. 733, if the reading is to be relied on. Guietus conjectured *δεινὸν δ' ὑπερίαχε*. Generally, but not always, *ἰάχειν* takes the digamma. The present passage (674—8) seems to have been tampered with, perhaps by the insertion of the Homeric verse 676. In this case *προφρονέως* will belong to *κατέσταθεν*. Possibly we should read *οἱ δ' ὅτε Τιτήνεσσι κατέσταθεν — δεινὸν περὶ Fίαχε κ.τ.λ.*, the apodosis commencing with this verse. Otherwise we might read *δεινὸν περὶ δ' ἴαχε πόντος*, as sup. v. 69, *περὶ δ' ἴαχε γαῖα μέλαινα*. In Scut. H. 451, *ἀλλὰ μέγα ἰάχων*, there is certainly a digamma, and ib. 382 for *μεγάλ' ἴαχον* we might read *μέγα Fαχον*.

679. *ἐσμαράγησεν*, crashed, viz. with the noise of the hurled rocks. Cf. inf. v. 693.

682. The common reading *ποδῶν αἰ-*

ἀσπέτου ἰωχμοῖο βολάων τε κρατεράων·
ὣς ἄρ' ἐπ' ἀλλήλοις ἴεσαν βέλεα στονόεντα.
φωνὴ δ' ἀμφοτέρων ἵκετ' οὐρανὸν ἀστερόεντα
κεκλομένων· οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.
οὐδ' ἄρ' ἔτι Ζεὺς ἴσχεν ἑὸν μένος· ἀλλά νυ τοῦγε
εἴθαρ μὲν μένεος πλῆντο φρένες, ἐκ δέ τε πᾶσαν
φαῖνε βίην· ἄμυδις δ' ἄρ' ἀπ' οὐρανοῦ ἠδ' ἀπ' Ὀλύμπου
ἀστράπτων ἔστειχε συνωχαδόν· οἱ δὲ κεραυνοὶ
ἵκταρ ἅμα βροντῇ τε καὶ ἀστεροπῇ ποτέοντο
χειρὸς ἄπο στιβαρῆς, ἱερὴν φλόγα εἰλυφόωντες,
ταρφέες, ἀμφὶ δὲ γαῖα φερέσβιος ἐσμαράγιζεν

687. ἴσχε *Feὸν* 692. *Feιλυφόωντες*

683. κρατεάων N. ἀσπεύτου ἰοχμοῖο N. 685. δ' ἵκετ' LN, Ald.
688. πλήντοι N. 690. συνωλαδὸν N. 691. ἀστραπῇ π. N.
ἀστεροπῇ εὖ π. L, Ald. 692. φλόγα θ' L, Ald. φλόγα εἰλ. N.

πειά τ' ἰωὴ, or ποδῶν δ' αἰπειά τ' ἰωὴ, was corrected by Hermann. It is manifest that ἰωὴ here has the digamma, and that the τ' was inserted from ignorance of it. In Il. x. 139, τὸν δ' αἶψα περὶ φρένας ἦλυθ' ἰωὴ, the old reading was probably ἦλθε *Fιωή*. Compare Il. iv. 276, ὑπὸ Ζεφύροιο ἰωῆς, and xvi. 127.—ἰωχμοῖο, a secondary genitive; 'the far-ascending noise of feet from the incessant pursuit and from the hard blows of the missiles.' The clause is exegetical of ἔνοσις βαρεῖα. The ῑ in ἰωχμὸς is long, as in Scut. H. 154, ἐν δὲ προίωξίς τε παλίωξίς τε τέτυκτο.

686. This is rather a weak verse, and perhaps spurious. The entire passage, describing the contest of the Titans, is in a more florid and descriptive style than Hesiod commonly adopts. It was the opinion of Heyne that a fragment from an ancient *Titanomachia* had been inserted here. Goettling regards 687—712 as the addition of a later writer, desirous to magnify the exploits of Zeus. It may be remarked that the article in οἱ δὲ κεραυνοὶ, v. 690, is hardly consistent with the early epic usage.

687. οὐκέτι ἴσχεν. "Significat poeta Jovem antea vim suam quasi cohibuisse, ut illam omnem exsereret in hac postrema bellum conficiente pugna." *Van Lennep.*

688. εἴθαρ, an epic form of εὐθύς.—πλῆντο, a passive aorist of πλῆμι, πίπλημι. So Scut. H. 146, τοῦ καὶ ὀδόντων μὲν πλῆντο στόμα.

690. συνωχαδὸν, συνεχῶς, continuously. The termination is the same as in περισταδὸν, and the long ω results from σύνοχος being pronounced σύνοκχος after the Aeolic dialect, as we have ἐκ λόκχοιο sup. v. 178.

691. ἵκταρ, πλησίον, close to the enemy. "Ita ut pervenirent, ab ἵκω." *Van Lennep.*—ἀστεροπῇ ποτέοντο seems the most probable reading, and is preferred by Van Lennep. Goettling gives ἀστραπῇ εὖ ποτέοντο.

692. φλόγα. Most of the copies add θ', which may be compared with the false reading αἰπειά τ' ἰωὴ in v. 682, as resulting from the lost digamma. Compare *Fελικῶπις*, *Fέλικες βοῦς*, with our word *welkin*. In Il. xi. 156, ὡς δ' ὅτε πῦρ ἀΐδηλον ἐν ἀξύλῳ ἐμπέσῃ ὕλῃ, πάντῃ τ' εἰλυφόων ἄνεμος φέρει, the context allows the omission of the τε. But in Scut. H. 276, τῆλε δ' ἀπ' αἰθομένων δαῖδων σέλας εἰλύφαζε, there is no digamma.—The whole description here, especially the boiling of the sea in v. 695, seems to have been written by one who had seen the effects of a torrent of lava falling into an adjoining bay.

καιομένη, λάκε δ' ἀμφὶ πυρὶ μεγάλ' ἄσπετος ὕλη.
ἔζεε δὲ χθὼν πᾶσα καὶ Ὠκεανοῖο ῥέεθρα,
πόντος τ' ἀτρύγετος· τοὺς δ' ἄμφεπε θερμὸς ἀϋτμὴ
Τιτῆνας χθονίους, φλὸξ δ' ἠέρα δῖαν ἵκανεν
ἄσπετος, ὄσσε δ' ἄμερδε καὶ ἰφθίμων περ ἐόντων
αὐγὴ μαρμαίρουσα κεραυνοῦ τε στεροπῆς τε.
καῦμα δὲ θεσπέσιον κάτεχεν Χάος· εἴσατο δ' ἄντα
ὀφθαλμοῖσιν ἰδεῖν ἠδ' οὔασιν ὄσσαν ἀκοῦσαι
αὖτως, ὡς ὅτε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν
†πίλνατο· τοῖος γάρ κε μέγιστος δοῦπος ὀρώρει
[τῆς μὲν ἐρειπομένης, τοῦ δ' ὑψόθεν ἐξεριπόντος.
τόσσος δοῦπος ἔγεντο θεῶν ἔριδι ξυνιόντων].

694. καϝομένη 695. ῥέϝεθρα 700. χάϝος? 701. ϝιδεῖν ϝόσσαν?

695. ἔζεσε N. 696. ἀμφείπετο L, Ald. 700. ἄντϊσα N.
705. ἔπλειτο L (gl. ὑπῆρχε), Ald. ξυνιέντων N.

694. λάκε μεγάλα, 'roared loudly.'

696. θερμός. For the masculine form see v. 657.

697. The epithet χθονίους, which should mean ὑποχθονίους, but is prematurely applied to the Titans not yet imprisoned by Zeus, makes it probable that this verse is interpolated. Van Lennep thinks it may mean that the Titans made the surface of the earth their battle-ground against the gods above, i. e. it may stand for ἐπιχθονίους.

700. εἴσατο, it appeared; viz. μάχη, or τὸ πρᾶγμα. So Od. v. 281, εἴσατο δ' ὡς ὅτε ῥινὸν ἐν ἠεροειδέϊ πόντῳ.—In the next verse perhaps ὄσσαν took the digamma. See on v. 10 sup.

702. ὡς ὅτε πίλνατο. This should describe a real event, 'as when the earth and sky met,' or we should expect πίλναιτο, 'as when (i. e. as if) it should meet.' Again, τοῖος μέγιστος δοῦπος seems a strange phrase, and one that does not well suit the τόσσος δοῦπος in v. 705. Perhaps therefore we should read ὡς ὅτε γαῖα—πίλναιτ'· ὅσσος γάρ κε μέγιστος κ.τ.λ., 'for as great a noise as would have been made by the fall of earth and sky, so great noise did arise from the gods meeting in conflict.' In the opinion of the present editor, this passage is by no means genuine as we have it. Probably 704—5 are spurious verses, especially as it seems incredible that any ancient poet should have used ἐρειπομένης and ἐξεριπόντος in the same clause and so nearly in the same sense, 'the one falling in ruins, the other tumbling from on high.' (For the intransitive ἐριπεῖν see Scut. H. 421.) At all events, v. 705 seems a mere appropriation of an Homeric verse, Il. xx. 66, τόσσος ἄρα κτύπος ὄρτο θεῶν ἔριδι ξυνιόντων. Indeed, the whole description there of the gods inciting Trojans and Achaeans to the contest, bears a close resemblance to the present.—Goettling's interpretation, with which he professes himself satisfied, is this:—"Chaos thought that it saw and heard the like sounds as when Gaea and Uranus embraced (cf. v. 133); for such a noise would have then occurred, had they fallen, as now arose from the gods in their conflict." It seems however difficult to extract any other meaning than this:—'And it seemed, to behold it closely with the eyes, and to hear the noise with one's ears, just as when earth and wide heaven from above approached each other.' Possibly we should read τοῖος γάρ τε μέγιστος δοῦπος ὀρώρει, omitting the two next verses.

705. For ἔγεντο see sup. v. 199. There is a variant ἔπλειτο, which may be

σὺν δ' ἄνεμοι ἔνοσίν τε κονίην τ' ἐσφαράγιζον
βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνὸν,
κῆλα Διὸς μεγάλοιο, φέρον δ' ἰαχήν τ' ἐνοπήν τε
ἐς μέσον ἀμφοτέρων, ὅτοβος δ' ἄπλητος ὀρώρει
σμερδαλέης ἔριδος, κάρτος δ' ἀνεφαίνετο ἔργων,
ἐκλίνθη δὲ μάχη· πρὶν δ' ἀλλήλοις ἐπέχοντες
ἐμμενέως ἐμάχοντο διὰ κρατερὰς ὑσμίνας.
οἳ δ' ἄρ' ἐνὶ πρώτοισι μάχην δριμεῖαν ἔγειραν
Κόττος τε Βριάρεώς τε Γύης τ' ἄατος πολέμοιο,
οἵ ῥα τριηκοσίας πέτρας στιβαρῶν ἀπὸ χειρῶν
πέμπον ἐπασσυτέρας, κατὰ δ' ἐσκίασαν βελέεσσι
Τιτῆνας, καὶ τοὺς μὲν ὑπὸ χθονὸς εὐρυοδείης
πέμψαν καὶ δεσμοῖσιν ἐν ἀργαλέοισιν ἔδησαν,

710. *Fέργων* 714. *ἀFατος*

706. *ἐσφράγιζον* N. *κόνιν* L, Ald. 710. *κράτος δ'—ἔργον* N. 718. *ἐν* om. L.

a corruption of *ἔπλητο*, a gloss on *πίλνατο* preceding, or of *ἔπλετο*, a gloss on *ἔγεντο*. Cf. sup. v. 193. Il. viii. 63, *ἅταρ ἀσπίδες ὀμφαλόεσσαι ἔπλητ'* ἀλλήλῃσι.

706. *κονίην τ'* Goettling and Van Lennep, with several MSS., for *κόνιν τ'* or *κόνιν θ' ἅμα*. The meaning of this verse is not clear;—'together the winds brought with a mighty noise the earthquake and the dust.' Here *σφαραγίζειν* seems an active form of *σφαραγέω*, 'to crackle.' But the accusatives following further perplex the passage. Probably we should read thus; *βροντὴ δὲ στεροπή τε σὺν αἰθαλόεντι κεραυνῷ, κῆλα Διὸς μεγάλοιο, φέρον ἰαχήν* (*Fιαχὴν*, see v. 678) *τ' ἐνοπήν τε*.

710. This verse reads like a later insertion.

711. *πρὶν*, before this final manifestation of the power of Zeus (cf. v. 687), and before the strength of Briareus and his brethren had been exerted. The subject to *ἐμάχοντο* is not *οἱ θεοὶ*, as Goettling supposes (for this would not allow of *ἀλλήλοις* being added), but the combatants on both sides.

712. *ἐμμενέως*, 'angrily.' See Scut. H. 429. Others interpret, 'perseveringly,' 'without intermission.'

714. *ἄατος*. On this doubtful word, where the second *α* is properly long, see Lexil. p. 3, and on Scut. H. 59. *Γύης* Goettling and Buttmann for *Γύγης*.

715. *πέτρας*, see sup. v. 675. By *κατεσκίασαν* the poet seems to mean *κατέκρυψαν, κατέχωσαν*.

718. *πέμψαν κ.τ.λ.* There is something weak in *πέμψαν καὶ ἔδησαν*, for the more usual *πέμψαντες*, and we should have expected the binding to precede the conveying away to prison. In v. 732, it is said that the imprisoned Titans cannot get out, not because they are chained in Tartarus, but because a door is closed upon them. And v. 719 is so feeble a verse that it is probably an interpolation. One may suspect the original reading to have been, *καὶ τοὺς μὲν ὑπὸ χθονὸς εὐρυοδείης δήσαντες δεσμοῖσιν ἐν ἀργαλέοισιν ἔπεμψαν τόσσον ἔνερθ' ὑπὸ γῆς κ.τ.λ.* But it is remarkable that this last verse seems to have been adapted from Il. viii. 16, *τόσσον ἔνερθ' Ἀΐδεω ὅσον οὐρανὸς ἐστ' ἀπὸ γαίης*. Virgil copies but diversifies this description, Aen. vi. 577, 'Tum Tartarus ipse Bis patet in praeceps tan-

[νικήσαντες χερσὶν ὑπερθύμους περ ἐόντας,]
τόσσον ἔνερθ' ὑπὸ γῆς, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης·
ἶσον γάρ τ' ἀπὸ γῆς ἐς Τάρταρον ἠερόεντα.
ἐννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
οὐρανόθεν κατιὼν δεκάτῃ ἐς γαῖαν ἵκοιτο·
ἐννέα δ' αὖ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
ἐκ γαίης κατιὼν δεκάτῃ [δ'] ἐς Τάρταρ' ἵκοιτο.
τὸν πέρι χάλκεον ἕρκος ἐλήλαται· ἀμφὶ δέ μιν νὺξ
τριστοιχεὶ κέχυται περὶ δειρήν· αὐτὰρ ὕπερθεν

721. *Fίσον* 722—4. *ἐννέFα*

720. *ἔνερθ' ἀΐδης* LN. 721 seqq. In N the verses are in this order; 722, 725, 721. But 721 is thus read, *τόσσον δ' αὖ ἀπὸ γαίης ἐς Τάρταρον ἠερόεντα.* 725. *δεκάτῃ δ' ἐς τάρταρον ἵκοιτο* L, Ald. *δ' ἐς τάρταρον ἵκοι* N.

tum, tenditque sub umbras, Quantus ad aetherium caeli suspectus Olympum.' From Homer or Hesiod Apollodorus took his statement, i. 1, 2, *τόπος δὲ οὗτος* [*Τάρταρος*] *ἐρεβώδης ἐστὶν ἐν Ἅιδου, τοσοῦτον ἀπὸ γῆς ἔχων διάστημα, ὅσον ἀπ' οὐρανοῦ γῆ.* Aeschylus also copied this passage, Prom. 227, *ἐμαῖς δὲ βουλαῖς Ταρτάρου μελαμβαθὴς κευθμὼν καλύπτει τὸν παλαιγενῆ Κρόνον αὐτοῖσι συμμάχοισι.*

721–3. These verses are wanting in several MSS. Ruhnken, followed by Gaisford, condemned v. 721. In other MSS. 723—4 are omitted; and in the Emmanuel and some others the order is inverted or otherwise changed. The occurrence of *χάλκεος ἄκμων* twice seems to have caused these disarrangements; or perhaps the two verses commencing with *ἐννέα* were at first transposed, or one of them omitted. The sense is complete as the text now stands:—'The distance is equal between heaven and earth, and earth and Tartarus; for a mass of iron would take nine days to fall through either space.' The idea of the *ἄκμων* probably originated in the actual fall of a mass of meteoric iron.

723. *δεκάτῃ δ'* Van Lennep, with many MSS. Goettling omits the *δὲ*, by which the sense is somewhat benefited at the expense of the metre. If *δὲ* be genuine, it is added as if *κατίοι* had preceded.

726—819. Here follows a long and minute description of Tartarus, its various parts, and the rebel powers confined therein. The conception and the language are alike fine, and they have the impress of a genuine antiquity in the main, though some verses may be interpolations. Hesiod's idea of Tartarus was nearly this:—A vast cavernous recess under the earth, extending indefinitely into Chaos, contained, as it were, an upper and a lower region. From the upper part of this dim abode, which was fenced round with a brazen wall, *χάλκεον ἕρκος*, v. 726, were seen, in the obscurity, and forming as it were the vault of the prison-house, the roots of earth and sea. The highest part of this place is the *δειρή*, the entrance through earth, as food enters the body through the throat. But it is in the deepest and darkest spot, *ὑπὸ ζόφῳ*, v. 729, and perhaps in the region of the far west (sup. v. 622), that the rebel Titans are confined; the *χάσμα μέγα* of v. 740, from which there is no escape through the upper *δειρή*, because Poseidon has placed gates over the entrance. Virgil seems to allude to this lowest region, Aen. vi. 580, 'Hic genus antiquum Terrae, Titania pubes, Fulmine dejecti, fundo volvuntur in imo.'

727. *τριστοιχεὶ*, 'in three rows,' 'in a triple fold.' The notion of a triple wall, triple darkness, &c., is common in the poets, as is the multiple of three, nine.

γῆς ῥίζαι πεφύασι καὶ ἀτρυγέτοιο θαλάσσης.
ἔνθα θεοὶ Τιτῆνες ὑπὸ ζόφῳ ἠερόεντι
κεκρύφαται βουλῇσι Διὸς νεφεληγερέταο,
χώρῳ ἐν εὐρώεντι, πελώρης ἔσχατα γαίης.
τοῖς οὐκ ἐξιτόν ἐστι, πύλας δ' ἐπέθηκε Ποσειδέων
χαλκείας, τοῖχος δὲ †περοίχεται ἀμφοτέρωθεν.
ἔνθα Γύης Κόττος τε καὶ Ὀβριάρεως μεγάθυμος
ναίουσιν, φύλακες πιστοὶ Διὸς αἰγιόχοιο.
ἔνθα δὲ γῆς δνοφερῆς καὶ Ταρτάρου ἠερόεντος

728. πεφύκασι LN, Ald. 730. διὸς μεγάλοιο ἔκητι N. 731. πελώρης τ' N. 732. τοῖς οὐκ ἐξύπόντον ἐστὶ N. 733. τεῖχος δὲ περίκειται N. τεῖχος δέ περ οἵκεται L, Ald. 734. ὀβριάρεος N. ὀβριάρεως (or ὀβρ.) L, Ald. 736—7. ἔνθα δὲ γῆς δνοφερῆς καὶ οὐρανοῦ ἀ. N, omitting the intermediate words.

Cf. Georg. iv. 480, 'novies Styx interfusa coercet.' Aen. vi. 549, 'sub rupe sinistra Maenia lata videt, triplici circumdata muro.' Ovid, Fast. iii. 801, 'Hunc triplici muro lucis incluserat atris Parcarum monitu Styx violenta trium.'

728. *πεφύασι.* This is a notable instance of that singular property of the epic perfect, the evanescence of the *κ*, and the shortening the long vowel before it, *πέφῡα* for *πέφυκα*. So *τεθνηῶς, τεθνειῶς, τεθνεῶς*, for *τεθνηκὼς, τεθνάναι* for *τεθνηκέναι*, Aesch. Ag. 522, and so *ἑστηῶς* (inf. v. 747), *ἑστεῶς, ἑστῶς*, &c. In *φύω* indeed, the *υ* seems only accidentally long, as in *λῦω* and *θῦω*, for we have *φῦσις* by the side of *λῦσις* and *θῦσια*. Homer has *λῦω* in Od. xxiii. 343, and even the Attic poets sometimes used *φῦειν* and *θῦειν*. The elimination of the *κ* is however a singular phenomenon. Like the digamma, it would seem in a certain sense to have been an arbitrary sound; and perhaps, as the forms commonly called *second* perfects are more common in the early epic, the *κ* did not originally form a part of the perfect termination. Dr. Donaldson's opinion on this matter will be found in p. 185 of his larger Greek Grammar.

731. *χώρῳ ἐν εὐρώεντι.* 'Per loca senta situ,' Virg. Aen. vi. 462. As *ἔσχατα* is rather unusual for *κατὰ τὰ ἔσχατα*, or adverbially for *πορρωτάτω*, we should perhaps read *χῶρον ἐς εὐρώεντα.* Compare *ἐπ' ἐσχατιῇ*, v. 622. Gaisford, following Wolf, encloses this verse in brackets.

732. *Ποσειδέων.* To this god were attributed any mighty effects of nature in moving vast masses.

733. *περοίχεται* was conjectured by Hermann for the vulg. *περίκειται δ'*. It was afterwards restored by Goettling and Van Lennep from two or three copies, some others having *τεῖχος δέ περ οἵκεται*, while the Emmanuel MS. has *τεῖχος δὲ περίκειται*. On the doubtful elision of the *ι* in *περὶ* see v. 678. By *ἀμφοτέρωθεν* he means that the wall is continuously built from the gate on both sides of it.

734—5. On the form *Ὀβριάρεως*, which is found in one MS. and the Aldine for *ὁ Βριάρεως* (a solecism), see on v. 617. Van Lennep edits *ἔνθα Γύγης, Κόττος καὶ Βριάρεως μεγάθυμος*. The MSS. as usual agree in *Γύγης*.

735. *φύλακες πιστοί.* The hundred-handed Giants had been released from their prison by Zeus, sup. v. 624, and are now appointed to the office of jailors over the conquered Titans. Apollodor. i. 2, 1, *οἱ δὲ τούτοις ὁπλισθέντες κρατοῦσι Τιτάνων, καὶ καθείρξαντες αὐτοὺς ἐν τῷ Ταρτάρῳ τοὺς Ἑκατόγχειρας καθίστασαν φύλακας.* Schol. *δεῖ δὲ νοεῖν, ὅτι οὗτοι ἐκτὸς τοῦ τείχους ἐπιτηροῦσι τοὺς Τιτᾶνας, οὐδὲ ἐν τοῖς Τιτᾶσι δεῖ νοεῖν οἰκοῦντας τούτους.*

736—9. These lines seem merely to

πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος
ἐξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν,
ἀργαλέ', εὐρώεντα, τάτε στυγέουσι θεοί περ,
χάσμα μέγ', οὐδέ κε πάντα τελεσφόρον εἰς ἐνιαυτὸν 740
οὖδας ἵκοιτ', εἰ πρῶτα πυλέων ἔντοσθε γένοιτο.
ἀλλά κεν ἔνθα καὶ ἔνθα φέροι πρὸ θύελλα θυέλλῃ.
[ἀργαλέη· δεινόν τε καὶ ἀθανάτοισι θεοῖσι
τοῦτο τέρας· καὶ νυκτὸς ἐρεμνῆς οἰκία δεινὰ
ἕστηκεν νεφέλῃς κεκαλυμμένα κυανέῃσι.] 745
Τῶν πρόσθ' Ἰαπετοῖο πάϊς ἔχει οὐρανὸν εὐρὺν

744. *Foικία*

738. ἔασσιν N, Ald. 740. πάντα om. N. 742. φέρει LN, Ald. 743. δεινή τε N. 744. ἐρεβενῆς N. 746. τῶν πρός τ' Ald.

repeat in other words the description in v. 728. Indeed, v. 739 is borrowed directly from Il. xx. 65; and all these four verses are repeated inf. v. 807—10. It is possible indeed that from 736 to 745 is a varied account of Tartarus, added from another recension, and formerly standing in place of 721—9. The idea of *distance* would seem to have been differently described in these two recensions (or recitations of the early rhapsodists), by the χάλκεος ἄκμων in the one, and the year's journey from the entrance of Tartarus to the bottom (*οὖδας*) in the other. There is something abrupt in v. 740, where *χάσμα μέγ'* should be exegetical of some preceding word different from *πηγαὶ καὶ πείρατα*, and also in the omission of *τις* before *ἵκοιτο*. — How the 'sources of sea and sky' (which were thought to touch in their extreme limits) can be said to have their site in Tartarus, will be understood from the note on v. 726.

740. *τελεσφόρος ἐνιαυτὸς* is a complete or solar year, the same as *δέκα πλείους ἐνιαυτούς*, sup. v. 636; or it may mean simply, 'for an entire and complete year,' viz. measured by the seasons in any general way. Here *πάντα* is not the nominative to *ἵκοιτο*, but for *ὅλον*. We must supply *τις*, the idea being, that the descent is so vast from the entrance of Tartarus to the bottom, that any one would be falling for a whole year, being driven to and fro, up and down, back and forward, by violent currents of wind. A storm is said *προφέρειν*, to carry any thing before it. Here the dative is superadded to signify 'storm upon storm.' Compare Opp. 579, Ἠώς τοι προφέρει μὲν ὁδοῦ, προφέρει δέ τε ἔργου. Il. vi. 345, ὥς μ' ὄφελ' ἤματι τῷ—οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα. Od. xx. 63, ἔπειτά μ' ἀναρπάξασα θύελλα οἴχοιτο προφέρουσα κατ' ἠερόεντα κέλευθα.

743—5. "Hi versus mire languent. Ineptissimum etiam est *καὶ νυκτὸς ἐρεμνῆς οἰκία δεινὰ*, quod cum sequentibus v. 746 seq. prorsus non cohaeret. Igitur seclusi utpote non profectos ab Hesiodo." *Goettling*. But, as Van Lennep observes, the position of the abode of night refers back to *ἔνθα* in v. 736, viz. in the extreme west. Nevertheless, v. 743 is like an interpolated verse, and it is not very clear to what *τοῦτο τέρας* exactly refers. These three verses may have been added to introduce the episode about Atlas, ὃς πρὸς ἑσπέρου τόπους ἕστηκε, as Aeschylus said in Prom. 356.

746. *τῶν πρόσθε, προπάροιθε*, in front of these abodes of night. Schol. *πρὸ τῶν οἴκων, δηλονότι τῆς νυκτός*. He adds, that there is an inconsistency in this account of Atlas. For how, he asks, could

ἑστηὼς, κεφαλῇ τε καὶ ἀκαμάτῃσι χέρεσσιν,
ἀστεμφέως, ὅθι Νύξ τε καὶ Ἡμέρη ἆσσον ἰοῦσαι
ἀλλήλας προσέειπον, ἀμειβόμεναι μέγαν οὐδὸν,
χάλκεον. ἡ μὲν ἔσω καταβήσεται, ἡ δὲ θύραζε
ἔρχεται, οὐδέ ποτ' ἀμφοτέρας δόμος ἐντὸς ἐέργει,
ἀλλ' αἰεὶ ἑτέρη γε δόμων ἔκτοσθεν ἐοῦσα
γαῖαν ἐπιστρέφεται, ἡ δ' αὖ δόμου ἐντὸς ἐοῦσα
μίμνει τὴν αὐτῆς ὥρην ὁδοῦ, ἔστ' ἂν ἵκηται·
ἡ μὲν ἐπιχθονίοισι φάος πολυδερκὲς ἔχουσα,
ἡ δ' Ὕπνον μετὰ χερσὶ, κασίγνητον Θανάτοιο,
[Νὺξ ὀλοὴ, νεφέλῃ κεκαλυμμένη ἠεροειδεῖ.

749. προσέἓειπον 751. ἐἓέργει 757. ἠεροϝειδεῖ

747. καὶ om. N. 748. ὅτι L. τε om. N. ἡμέρα τάσσον L, Ald. 749. ἀλλήλοις N. 754. τῆς αὐτῆς L. τὴν αὐτῆς N, Ald. 755. ἐπιχθονὶησι N.

Atlas stand on the earth and support heaven, if heaven was so far from earth that a mass of iron would be nine days in falling? The poet's notion doubtless was, that Atlas held up the sky near its junction with earth in the far west. It is not said, either here or sup. v. 517 seqq., that Atlas was confined in Tartarus, though he was in penal servitude.—The common reading is ἔχετ' οὐρανὸν εὐρὺν, which has been altered to ἔχει on Hermann's conjecture, and from one of Goettling's MSS. Neither the middle verb nor the elision of the final αι is usual. (See Opp. 702.) The active is defended by the nearly similar passage sup. 517—19, Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης, where v. 747 occurs as v. 519. Van Lennep thinks ἔχεται may be defended by Il. xxi. 531, but there ἔχετε is the imperative.

748. ὅθι, in the place where, οὗ, viz. in the west. This locality is expressed by a singular metaphor (derived, probably, from the change of night-watches), 'Where Night and Day approaching (viz. when going in opposite directions), greet each other as they pass the mighty threshold,' or as Night steps upon the earth and Day sinks or descends beneath it. Schol. ἡ νὺξ καὶ ἡ ἡμέρα χωριζόμεναι ἀπ' ἀλλήλων προσαγορεύουσιν ἀπαντῶσαι ἀλλήλας. Compare Od. x. 82, ὅθι ποιμένα ποίμην ἠπύει εἰσελάων, ὁ δέ τ' ἐξελάων ὑπακούει. —There is a variant ἀμφὶς ἰοῦσαι, but it has less authority and gives an inferior sense. For ἡμέρη there are variants ἡμέραι and ἡμέρα. The plural was first written on account of ἰοῦσαι, and then the final I was mistaken for T, giving the Aldine τἆσσον, and leaving ἡμέρα.

749. μέγαν οὐδόν. The idea is that of steps leading to a vast portal, through which guards pass to keep watch outside. For the expression cf. Theocr. ii. 104, ἄρτι θύρας ὑπὲρ οὐδὸν ἀμειβόμενον ποδὶ κούφῳ. Aesch. Cho. 562, εἰ δ' οὖν ἀμείψω βαλὼν ἕρκειον πυλῶν.

750. καταβήσεται, 'descensura est.' It seems best to understand ἔσω καταβήσεται of Day retiring within the subterranean palace of Night. Thus ἡ δὲ θύραζε ἔρχεται will mean, that Night leaves her own abode, comes upon the earth from the western door, and leaves it by a similar door in the east at the moment when Day reappears at that door.

754. αὐτῆς does not agree with ὁδοῦ, as if for τῆς αὐτῆς (see on Scut. H. 35), but stands for the emphatic ἑαυτῆς, which is not an epic form; 'she awaits her own time for the journey, until it shall have arrived.'

755—7. These lines are enclosed in brackets by Gaisford after Heyne and

Ἔνθα δὲ Νυκτὸς παῖδες ἐρεμνῆς οἰκί' ἔχουσιν,
Ὕπνος καὶ Θάνατος, δεινοὶ θεοί· οὐδέ ποτ' αὐτοὺς
Ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν 760
οὐρανὸν εἰσανιὼν οὐδ' οὐρανόθεν καταβαίνων.]
τῶν ἕτερος μὲν γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
ἤσυχος ἀνστρέφεται καὶ μείλιχος ἀνθρώποισι,
τοῦ δὲ σιδηρέη μὲν κραδίη, χάλκεον δέ οἱ ἦτορ
νηλεὲς ἐν στήθεσσιν· ἔχει δ' ὃν πρῶτα λάβησιν 765
ἀνθρώπων· ἐχθρὸς δὲ καὶ ἀθανάτοισι θεοῖσιν.
Ἔνθα θεοῦ χθονίου πρόσθεν δόμοι ἠχήεντες,
[ἰφθίμου τ' Ἄϊδεω καὶ ἐπαινῆς Περσεφονείης,]
ἑστᾶσιν, δεινὸς δὲ κύων προπάροιθε φυλάσσει,
νηλειὴς, τέχνην δὲ κακὴν ἔχει· ἐς μὲν ἰόντας 770
σαίνει ὁμῶς οὐρῇ τε καὶ οὔασιν ἀμφοτέροισιν,
ἐξελθεῖν δ' οὐκ αὖτις ἐᾷ πάλιν, ἀλλὰ δοκεύων
ἐσθίει ὅν κε λάβησι πυλέων ἔκτοσθεν ἰόντα
[ἰφθίμου τ' Ἄϊδεω καὶ ἐπαινῆς Περσεφονείης.]

758. Ϝοικία 764. Ϝοι 768. 774. Ἀϝίδεω

